| | |
|---|---|
| Λέγεται μέντοι τοὺς γνωρίμους θέλειν λυτρώσασθαι αὐτόν, τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. | VI. 2,75. φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι, τὸν δ' εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. |
| Ἐν δὲ τῷ ἀποθνήσκειν αὐτὸν πυθομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψει, Ἐπὶ πρόσωπον, ἔφη. Τοῦ δ' ἐρομένου διὰ τί, Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι. Τοῦτο δ' εἰρήκει διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας. | VI. 2,31 ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη, « ἐπὶ πρόσωπον » (32) τοῦ δ' ἐρομένου, « διὰ τί »; « ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἄνω στρέφεσθαι. » τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. |
| Φωνήσας ποτὲ Ὦ ἄνθρωποι, καὶ συνελθόντων τινῶν, καθίκετο τῇ βακτηρίᾳ, εἰπὼν Ἀνθρώπους ἐκάλεσα καὶ οὐ καθάρματα. | VI, 2,32. φωνήσας ποτέ, « ἰὼ ἄνθρωποι », [καὶ] συνελθόντων, καθίκετο τῇ βακτηρίᾳ, εἰπών, « ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα, » ὥς φησιν Ἑκάτων ἐν τῷ πρώτῳ τῶν Χρειῶν. |
| Εἰσελθὼν ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον πληγὰς ἔλαβε· μετὰ δέ, ἐγγράψας τὰ ὀνόματα τῶν τυψάντων ἐπὶ τοῦ μετώπου, περιῄει ἐξημμένος, ἕως αὐτοὺς | VI, 2,33. εἰσελθὼν ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον, καθά φησι Μητροκλῆς ἐν ταῖς Χρείαις, πληγὰς ἔλαβε· μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν |

1-2. λέγεται — αὐτὸν ΔΠ: φησὶ — θελῆσαι Ε 2. δὲ ΔΠ: δ' Ε 8-10. ἐν δὲ — ἔφη ΔΠ: ἔνθα — πρόσωπον Ε 10. θάψει ΔΠ: θάψειε Ε 11. δ' ΠΕ: δὲ Δ 11-12. μετ' ὀλίγον ΔΕ: μετολίγον Π 12. εἶπε ΔΕ: λείπει Π κάτω ΔΕ: κάτω εἶπεν Π 12-13. ἀναστρέφεσθαι ΔΠ: ἄνω στρέφεσθαι Ε 13. δ' εἰρήκει ΔΠ: δὲ Ε 14. μακεδόνας ΔΠ: Μακεδόνας — γίνεσθαι Ε 18. ὦ ΔΠ: ἰὼ Ε 19. τινῶν ΔΠ: λείπει Ε 20. καὶ ΔΠ: λείπει Ε καθάρματα ΔΠ: καθάρματα — Χρειῶν Ε 24. συμπόσιον ΔΠ: συμπόσιον — Χρείαις Ε 25. ἐγγράψας ΔΕ: ἐγράψατο Π 26. τῶν τυψάντων ἐπὶ τοῦ μετώπου ΔΠ: εἰς λεύκωμα τῶν πληξάντων Ε

ὕβρει περιέθηκεν. Ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν.

Πρὸς τοὺς εἰπόντας Γέρων εἶ, Διόγενες, καὶ λοιπὸν ἄνες, Τί δ', ἔφη, εἰ δόλιχον ἔτρεχον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι;

Κατέλαβέ ποτε Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα. Τοῦ δ' ἔσωθεν φεύγοντος, Τοσούτῳ μᾶλλον, εἶπε, γίγνῃ ἐν τῷ πανδοκείῳ.

Τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ Ἄγε, φησίν, ὅπως τὸ προστattόμενον ποιήσεις. » Τοῦ δ' εἰπόντος

Ἄνω ποταμῶν χωροῦσι πηγαί,

Εἰ δὲ ἰατρόν, εἶπε, νοσῶν ἐπρίω, οὐκ ἂν αὐτῷ ἐπείθου, ἀλλ' εἶπες ὡς ἄνω ποταμῶν χωροῦσι πηγαί;

πληξάντων περιῄει ἐξημμένος, ἕως αὐτοὺς ὕβρει περιέθηκε καταγινωσκομένους καὶ ἐπιπληττομένους. ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν.

VI, 2,34. πρὸς τοὺς εἰπόντας, « γέρων εἶ καὶ λοιπὸν ἄνες, » τί δέ, » ἔφη, εἰ δόλιχον ἔτρεχον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι; »

VI, 2,34. κατέλαβέ ποτε Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα. τοῦ δ' ὑποχωροῦντος, « τοσούτῳ μᾶλλον, ἔφη, ἔσῃ ἐν τῷ πανδοκείῳ. »

VI, 2,36. τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ φησί, « ἄγε ὅπως τὸ προσταττόμενον ποιήσεις. » τοῦ δ' εἰπόντος,

Ἄνω ποταμῶν χωροῦσι παγαί,

« εἰ δὲ ἰατρὸν ἐπρίω νοσῶν, οὐκ ἄν, ἔφη, αὐτῷ ἐπείθου, ἀλλ' εἶπες ἂν ὡς ἄνω ποταμῶν χωροῦσι παγαί; »

1. περιέθηκεν ΔΠ: περιέθηκε — ἐπιπληττομένους Ε ἔλεγεν ἑαυτὸν ΠΕ: ἑαυτὸν ἔλεγε Δ 2. εἶναι ΠΕ: λείπει Δ 3. ἀλλὰ ΠΕ: εἶναι ἀλλὰ Δ 4. ἐπὶ ΠΕ: πρὸς Δ 8. τοὺς εἰπόντας ΠΕ: τὸν εἰπόντα Δ 9. διόγενες Π: λείπει ΔΕ δ' ΠΕ: δὲ Δ 10. δόλιχον Ε: δολιχὸν ΔΠ 11. ἀνεῖναι ΔΕ: ἀνιέναι Π 13. κατέλαβέ ποτε ΔΕ: κατέλαβε Π 15. ἔσωθεν φεύγοντος ΔΠ: ὑποχωροῦντος Ε τοσούτῳ ΔΕ: τοσοῦτον Π 16. εἶπε γίγνῃ Π: γίγνῃ εἶπεν Δ: ἔφη ἔσῃ Ε 16-17. πανδοκείῳ ΔΕ: καπηλείῳ Π 19. ἄγε φησὶν ΔΠ: φησὶ ἄγε Ε 19-20. προσταττόμενον ΔΕ: πραττόμενον Π 20. ποιήσεις ΠΕ: ποιήσῃς Δ δ' ΠΕ: δὲ Δ 22. πηγαὶ ΔΠ: παγαὶ Ε 23. εἶπε νοσῶν ἐπρίω Π: εἶπε νοσῶν Δ: ἐπρίω νοσῶν Ε 24. ἂν ΔΠ: ἂν ἔφη Ε 25. ὡς ΔΠ: ἂν ὡς Ε πηγαὶ ΔΠ: παγαὶ Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ/της Ε.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἤθελέ τις παρ' αὐτῷ φιλοσοφεῖν· ὁ δέ οἱ σαπέρδην δοὺς ἐκέλευσεν ἀκολουθεῖν. Ὡς δὲ ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ἀπαντήσας αὐτῷ καὶ γελάσας λέγει· Τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσε.

Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πίνον, ἐξέρριψε τῆς πήρας τὴν κοτύλην, εἰπών· Παιδίον με νενίκηκεν εὐτελείᾳ. Θεασάμενός ποτε γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς προςπίπτουσαν, βουλόμενος αὐτῆς περιελεῖν τὴν δεισιδαιμονίαν, προςελθὼν εἶπεν· Οὐκ εὐλαβῇ, ὦ γύναι, μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος· πάντα γάρ ἐστιν αὐτοῦ πλήρη· ἀσχημονήσῃς;

Τινὸς ἀναγινώσκοντος καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον παραδείξαντος, Θαρρεῖτε, ἔφη, ἄνδρες· γῆν ὁρῶ. Πρὸς τὸν συλλογισάμενον, ὅτι κέρατα Διογένης ἔχει, ἁψάμενος τοῦ μετώπου, Ἐγὼ μέν, ἔφη, οὐχ ὁρῶ. Ὁμοίως καὶ πρὸς τὸν εἰπόντα ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς περιεπάτει·

ἤθελέ τις παρ' αὐτῷ φιλοσοφεῖν· ὁ δὲ οἱ σαπέρδην δοὺς ἐκέλευσεν ἀκολουθεῖν. ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει, «τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσε.»

VI, 2.37. Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέρριψε τῆς πήρας τὴν κοτύλην, εἰπών, «παιδίον με νενίκηκεν εὐτελείᾳ.» .... θεασάμενός ποτε γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς προςπίπτουσαν, βουλόμενος αὐτῆς περιελεῖν τὴν δεισιδαιμονίαν, καθά φησι Ζωΐλος ὁ Περγαῖος, προςελθὼν εἶπεν, «οὐκ εὐλαβῇ, ὦ γύναι, μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος — πάντα γάρ ἐστιν αὐτοῦ πλήρη — ἀσχημονήσῃς;»

VI, 2.38. μακρά τινος ἀναγινώσκοντος καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφόν τι παραδείξαντος, «θαρρεῖτε, ἔφη, ἄνδρες· γῆν ὁρῶ.» πρὸς τὸν συλλλογισάμενον ὅτι κέρατα ἔχει, ἁψάμενος τοῦ μετώπου, «ἐγὼ μέν, ἔφη, οὐχ ὁρῶ.» (39) ὁμοίως καὶ πρὸς τὸν εἰπόντα ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς περι-

2. οἱ ΠΕ: οἵ Δ    3. δὲ ΔΠ: δ' Ε    4-5. ἀπαντήσας ΔΠ: ὑπαντήσας Ε    7. διέλυσε ΠΕ: διέλυσεν Ε    9. πῖνον Ε: πίνον ΔΠ    14-15. δεισιδαιμονίαν ΔΠ: δεισιδαιμονίαν — Περγαῖος Ε    18. ἀσχημονήσῃς ΠΕ: ἀσχημονήσεις Δ    21. τινὸς ΔΠ: μακρά τινος Ε    22. ἄγραφον ΔΠ: ἄγραφόν τι Ε    25-26. διογένης ΔΠ: λείπει Ε    29. περιεπάτει ΠΕ: περιπάτει Δ

ΙΩΑΝΝΙΝΑ 2006

πρὸς τὸν λέγοντα περὶ μετεώρων Ποσταῖος, ἔφη, ἐκ τοῦ οὐρανοῦ πάρει; Εὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν Μηδὲν εἰςίτω κακόν, Ὁ οὖν κύριος, ἔφη, τῆς οἰκίας ποῦ εἰςέλθῃ; Μύρῳ τοὺς πόδας ἀλειψάμενος, ἔφη ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν.

Πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς, Ἰδού, φησι, καὶ Διογένης παρασίτους τρέφει.

Πλάτωνος ὁρισαμένου Ἄνθρωπός ἐστι ζῷον δίπουν ἄπτερον καὶ εὐδοκιμοῦντος, τίλας ἀλέκτορα εἰςήνεγκεν αὐτοῦ εἰς τὴν σχολὴν, καὶ φησιν Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. Ὅθεν τῷ ὅρῳ προςετέθη τὸ πλατυώνυχον. Πρὸς τὸν πυθόμενον ποίαν ὥραν δεῖ ἀριστᾶν Ὁ μὲν πλούσιος, εἶπεν, ὅταν θέλῃ, ὁ δὲ πένης ὅταν ἔχῃ. Ἐν Μεγάροις ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνούς,

ἐπάτει. πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων. «ποσταῖος,» ἔφη, «πάρει ἀπὸ τοῦ οὐρανοῦ;» εὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, «μηδὲν εἰσίτω κακόν», «ὁ οὖν κύριος, ἔφη, τῆς οἰκίας ποῦ εἰςέλθῃ;» τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν.

VI, 2.40. πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς» «ἰδού, φησί, καὶ Διογένης παρασίτους τρέφει.»

VI, 2. 40. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπός ἐστι ζῷον δίπουν ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰςήνεγκεν αὐτοῦ εἰς τὴν σχολὴν καί φησιν, «οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος.» ὅθεν τῷ ὅρῳ προςετέθη τὸ πλατυώνυχον. πρὸς τὸν πυθόμενον ποίᾳ ὥρᾳ δεῖ ἀριστᾶν, «εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ· εἰ δὲ πένης, ὅταν ἔχῃ.» (41) ἐν Μεγάροις ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς

1. περὶ ΔΠ: περὶ τῶν Ε 2-3. ἐκ τοῦ οὐρανοῦ πάρει ΔΠ: πάρει ἀπὸ τοῦ οὐρανοῦ Ε 6. εἰςέλθῃ ΠΕ: εἰςέλθοι Δ μύρω ΔΠ: τῷ μύρῳ Ε 9. μύρον Ε: μῦρον ΔΠ 13. φησι ΔΠ: φησί Ε 16-17. ἄνθρωπός ἐστι ΔΕ: ἄνθρωπος ἐστὶ Π 18. ἀλέκτορα ΔΠ: ἀλεκτρυόνα Ε 20. καί φησιν Ε: καὶ φησὶν ΔΠ 22. πλατυώνυχον Ε: πλατυόνυχον ΔΠ 23. ποίαν ὥραν ΔΠ: ποίᾳ ὥρᾳ Ε 24. ὁ (καὶ 25) ΔΠ: εἰ Ε 24. εἶπεν ΔΠ: ἔφη Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Υ.Δ.Τ.Φ. ΙΩΑΝΝΙΝΑ 2006

ἔφη· Λυσιτελέστερόν ἐστι Μεγαρέως κριὸν εἶναι ἢ υἱόν.

Εἱστήκει ποτὲ κατακρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη· Εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι, ἀπόστητε, ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ. Ἐντρίψαντος αὐτῷ κόνδυλόν τινος, Ἡράκλεις, ἔφη, οἷόν με χρῆμα ἐλάνθανε τὸ μετὰ περικεφαλαίας περιπατεῖν.

Πρὸς τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ οὐκ ἐπιστρέφονται, ὑπὲρ ὧν δὲ καθεύδοντες φαντάζονται πολυπραγμονοῦσι.

Μετὰ τὰ κατὰ Χαιρώνειαν ἐν τῷ στρατοπέδῳ τοῦ Φιλίππου συλληφθεὶς ἀπήχθη πρὸς τὸν βασιλέα. Καὶ ἐρωτηθεὶς ὅςτις εἴη, ἀπεκρίνατο· Κατάσκοπος τῆς σῆς ἀπληστίας. Καὶ θαυμασθεὶς ἀπελύθη.

Πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον Οὔπω, εἶπε, μακάριος

δὲ παῖδας αὐτῶν γυμνούς, ἔφη, «λυσιτελέστερόν ἐστι Μεγαρέως κριὸν εἶναι ἢ υἱόν.

VI. 2.41. εἱστήκει ποτὲ κατακρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη, «εἰ βούλεσθ' αὐτὸν ἐλεῆσαι, ἀπόστητε,» ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ. ἐντρίψαντος αὐτῷ κόνδυλόν τινος, «Ἡράκλεις, ἔφη, οἷόν με χρῆμ' ἐλάνθανε τὸ μετὰ περικεφαλαίας περιπατεῖν.»

VI, 2,43. πρὸς δὲ τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, οὐκ ἐπιστρέφονται, ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν.

VI. 2.43. φησὶ δὲ Διονύσιος ὁ στωικὸς ὡς μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον· καὶ ἐρωτηθεὶς ὅστις εἴη, ἀπεκρίνατο, «κατάσκοπος τῆς σῆς ἀπληστίας.» ὅθεν θαυμασθεὶς ἀφείθη.

VI, 2,44. ὅθεν πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον, «οὔπω,

7. βούλεσθε ΔΠ: βούλεσθ' Ε  9. ἐντρίψαντος αὐτῷ ΔΕ: ἐντρίψαντός τινος αὐτῷ Π  9-10. κόνδυλόν τινος Ε: κόνδυλον τινὸς Δ: κόνδυλον Π  10. οἷόν Ε: οἷον ΔΠ  11. χρῆμα ΔΠ: χρῆμ' Ε  14. πρὸς ΔΠ: πρὸς δὲ Ε  18. φαντάζονται ΔΠ: φαντασιοῦνται Ε  18-19. πολυπραγμονοῦσι Π: πολυπραγμονοῦσιν ΔΕ  20-23. μετὰ — βασιλέα ΔΠ: φησὶ — Φίλιππον Ε  20. τὰ κατὰ ΔΠ: λείπουσιν Ε  25. καὶ ΔΠ: ὅθεν Ε  25-26. ἀπελύθη ΔΠ: ἀφείθη Ε  27. πρὸς ΔΠ: ὅθεν πρὸς Ε  28. εἶπε ΠΕ: εἶπεν Δ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Υ. Δ.Τ.Κ. ΙΩΑΝΝΙΝΑ 2006

εἶ, ἂν μή σε καὶ ἀπομύξῃ. Θεασάμενος τοὺς ἱερομνήμονας τῶν ταμιῶν ἄγοντάς τινα φιάλην ὑφῃρημένον, ἔφη· Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσι. Πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα Βλέπωμεν μὴ δάκῃ ἡμᾶς, Θαρρεῖτε, ἔφη, παιδία· κύων τευτλία οὐκ ἐσθίει. Πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον Παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς στρώματα καταισχύνων. Πρὸς τὸν μακαρίζοντα Καλλισθένην ὡς πολυτελῶν παρ' Ἀλεξάνδρῳ μετέχοι Κακοδαίμων μὲν οὖν ἐστιν, εἶπεν, ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ, ὅταν Ἀλεξάνδρῳ δοκῇ.

εἶπε, μακάριος εἶ, ἂν μή σε καὶ ἀπομύξῃ· τοῦτο δ' ἔσται πηρωθέντι σοι τὰς χεῖρας.» (45) θεασάμενός ποτε τοὺς ἱερομνήμονας τῶν ταμιῶν τινα φιάλην ὑφῃρημένον ἀπάγοντας ἔφη, «οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἀπάγουσι.»... πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα, «βλέπωμεν μὴ δάκῃ ἡμᾶς», «θαρρεῖτε, ἔφη, παιδία· κύων τευτλία οὐκ ἐσθίει.» πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον, «παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς στρώματα καταισχύνων.» πρὸς τὸν μακαρίζοντα Καλλισθένην καὶ λέγοντα ὡς πολυτελῶν παρ' Ἀλεξάνδρῳ μετέχει, «κακοδαίμων μὲν οὖν ἐστιν, εἶπεν, ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ ὅταν Ἀλεξάνδρῳ δοκῇ.»

Πρὸς τὸ κεκοσμημένον μειράκιον, πυθόμενόν τι, ἔφη οὐ πρότερον λέξειν αὐτῷ, εἰ μὴ ἀνασυράμενον δείξειε πότερον γυνή ἐστιν ἢ ἀνήρ. Πρὸς τὸ κοτταβίζον ἐν τῷ βαλανείῳ μειράκιόν φησιν· Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον. Ἐν δείπνῳ προσερρίπτουν αὐτῷ τινες ὀ-

VI, 2, 46. πρὸς τὸ κεκοσμημένον μειράκιον πυθόμενόν τι ἔφη οὐ πρότερον λέξειν αὐτῷ, εἰ μὴ ἀνασυράμενος δείξειε πότερον γυνή ἐστιν ἢ ἀνήρ. πρὸς τὸ κοτταβίζον ἐν τῷ βαλανείῳ μειράκιόν φησιν, «ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον.» ἐν δείπνῳ προσερρίπτουν αὐτῷ τι-

1. ἂν ΠΕ: ἐὰν Δ  ἀπομύξῃ ΔΠ: ἀπομύξῃ—χεῖρας Ε  1-2. θεασάμενος ΔΠ: θεασάμενός ποτε Ε  3. ταμιῶν Ε: ταμείων ΔΠ  ἄγοντάς τινα (τινας Δ) φιάλην ὑφῃρημένον ΔΠ: τινα φιάλην ὑφῃρημένον ἀπάγοντας Ε  4. μεγάλοι ΔΕ: μεγάλαι Π  5. ἄγουσι Π: ἄγουσιν Δ: ἀπάγουσι Ε  5-6. περιστάντα ΠΕ: παριστάντα Δ  7. δάκῃ ΠΕ: δάκνῃ Δ  12. καλλισθένην ΔΠ: καλλισθένην καὶ λέγοντα Ε  14. μετέχοι ΔΠ: μετέχει Ε  22-23. ἀνασυράμενον Δ: ἀνασυράμενος ΠΕ:  25. μειράκιόν φησιν Ε: μειράκιον φησίν ΔΠ  ὅσῳ Ε: ὅσον ΔΠ  26. τοσούτῳ Ε: τοσοῦτον ΔΠ

ΙΩΑΝΝΙΝΑ 2006

στάρια ὡς κυνί. Καὶ ὃς ἀπαλλαττόμενος προσούρησεν αὐτοῖς ὡς κύων.

Θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον Πράσιμος, Ἤδειν, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσοις τὸν κύριον. Πρὸς τὸ καταιτιώμενον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, Παῦσαι, ἔφη, καὶ σὺ τὰ δείγματα τοῦ πασχητιῶντος περιφέρον. Θεασάμενος βαλανεῖον ῥυπαρόν, Οἱ ἐνθάδε ἔφη λουόμενοι ποῦ λούονται;

Κιθαρῳδὸν ἀεὶ καταλιμπανόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο Χαῖρε ἀλέκτορ· τοῦ δὲ εἰπόντος Διὰ τί; Ὅτι, ἔφη, ᾄδων πάντας ἐγείρεις. Λέγοντος αὐτῷ τινος ἰσχυρῶς δεισιδαίμονος Μιᾷ πληγῇ τὴν κεφαλήν σου διαρρήξω, Ἐγὼ δέ, εἶπε, πταρῶν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω. Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, Μάτην, ἔφη, τυγχάνεις αἰτῶν, ὃς

νες ὀστάρια ὡς κυνί· καὶ ὃς ἀπαλλαττόμενος προσεούρησεν αὐτοῖς ὡς κύων.

VI. 2.47. θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον, «πράσιμος», «ᾔδειν, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσοις τὸν κεκτημένον.» πρὸς τὸ καταιτιώμενον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, «παῦσαι γάρ, ἔφη, καὶ σὺ τὰ δείγματα τοῦ πασχητιῶντος περιφέρων.» πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, «οἱ ἐνθάδε, ἔφη, λουσάμενοι ποῦ λοῦνται;»

VI, 2.48. τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο, «χαῖρε ἀλέκτορ.» τοῦ δὲ εἰπόντος, «διὰ τί»; «ὅτι, ἔφη, ᾄδων πάντας ἐγείρεις.» ... λέγοντος δ' αὐτῷ τινος ἰσχυρῶς δεισιδαίμονος, «μιᾷ πληγῇ τὴν κεφαλήν σου διαρρήξω,» «ἐγὼ δέ γε, εἶπε, πταρῶν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω.» Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, «μάταιος,

2. προσούρησεν ΔΠ: προσεούρησεν Ε αὐτοῖς Ε: αὐτὰ ΔΠ 6. οὕτω ΠΕ: οὕτως Δ 7. ἐξεμέσοις Ε: ἐξεμέσεις ΔΠ 10. ἔφη καὶ σὺ Π: καὶ σὺ ἔφη Δ: γάρ, ἔφη καὶ σὺ Ε δείγματα ΠΕ: δήγματα Δ 11. περιφέρον ΔΠ: περιφέρων Ε 11-12. θεασάμενος βαλανεῖον ῥυπαρὸν ΔΠ: πρὸς τὸ ῥυπαρὸν βαλανεῖον Ε 13. λουόμενοι ΔΠ: λουσάμενοι Ε λούονται ΔΠ. λοῦνται Ε 15. κιθαρῳδὸν ΔΠ: τὸν κιθαρῳδὸν Ε 15-16. καταλιμπανόμενον ΔΠ: καταλειπόμενον Ε 17. δὲ ΔΕ: δ' Π 18-19. ᾄδων πάντας ἐγείρεις ΔΕ: πάντας ἐγείρεις ἄδων Π 19. αὐτῷ ΔΠ: δ' αὐτῷ Ε 22. δὲ Δ: δ' Π: δέ γε Ε πταρῶν Ε: παρὼν ΔΠ 25-26. μάτην—αἰτῶν Π: μάτην ἔφη τυγχάνεις Δ: μάταιος ἔφη τυγχάνεις ὦ Ἡγεσία Ε

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Θ.Δ. ΠΕΤ.Π ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς· ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς. | ἔφη, τυγχάνεις ὦ Ἡγεσία, ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς· ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς. |
| Εἰπόντος τινὸς Σινωπεῖς σου φυγὴν κατέγνωσαν, Ἀλλ' ἐγώ, εἶπεν, ἐκείνων μονήν. Ἰδὼν Ὀλυμπιονίκην πρόβατα νέμοντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα. » Ἤτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, Μελετῶ, εἶπεν, ἀποτυγχάνειν. | VI, 2,49. καὶ πάλιν εἰπόντος τινός, «Σινωπεῖς σου φυγὴν κατέγνωσαν,» «ἐγὼ δέ γε, εἰπεῖν, ἐκείνων μονήν.» ἰδών ποτ' Ὀλυμπιονίκην πρόβατα νέμοντα, «ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα.... ᾔτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, «μελετῶ, εἶπεν, ἀποτυγχάνειν.» |
| Ἐρωτηθεὶς διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη· Ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται. | VI, 2,49. ἐρωτηθεὶς διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη, «ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται.» |
| Αἰτῶν τινα· καὶ γὰρ τοῦτο πρῶτον ἐποίει διὰ τὴν ἀπορίαν· ἔφη· Εἰ μὲν [καὶ] ἄλλῳ δέδωκας, δὸς κἀμοί, εἰ δὲ μηδενί, ἀπ' ἐμοῦ ἄρξαι. Ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη· Ὡς θυλάκοις, τοὺς μὲν πλήρεις κρεμῶν, τοὺς δὲ κενοὺς ῥίπτων. Νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν | VI, 2,49. αἰτῶν τινα — καὶ γὰρ τοῦτο πρῶτον ἐποίει διὰ τὴν ἀπορίαν — ἔφη, «εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μή, ἀπ' ἐμοῦ ἄρξαι.»... ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη «ὡς θυλάκοις, τοὺς μὲν πλήρεις κρημνῶν, τοὺς δὲ κενοὺς ῥίπτων. νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν |

3. παριδὼν τὴν ἀληθινὴν ΔΕ: τὴν ἀληθινὴν παριδὼν Π 6. εἰπόντος ΔΠ: καὶ πάλιν εἰπόντος Ε 7. ἀλλ' ἐγὼ εἶπεν ΔΠ: ἐγὼ δέ γε εἰπεῖν Ε 8. ἰδὼν ΔΠ: ἰδών ποτ' Ε 13. Αἱ λέξεις διὰ τί παρὰ τὸ ἔθος τῶν βιβλιογράφων εὕρηνται κεχωρισμέναι ἐν τούτῳ τῷ χωρίῳ ΔΠ 16. οἱ ΠΕ: λείπει Δ 22. καὶ Ε: λείπει ΔΠ 23. κάμοί ΔΕ: καμοί Π μηδενὶ ΔΠ: μὴ Ε 25. διονύσιος τοῖς φίλοις ΔΕ: τοῖς φίλοις διονύσιος Π 26-27. κρεμῶν ΔΠ: κρημνῶν Ε

| | |
|---|---|
| Ὁ τοῦ Διὸς παῖς καλλίνικος Ἡρακλῆς ἐνθάδε κατοικεῖ· μηδὲν εἰςίτω κακόν, ἐπέγραψε Μετὰ τὸν πόλεμον ἡ συμμαχία. Ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη· Εἰ οὕτω κατὰ γνώμην ἠρίστας, οὐκ ἂν οὕτω παρὰ γνώμην ἐδείπνεις. | «Ὁ τοῦ Διὸς παῖς καλλίνικος Ἡρακλῆς ἐνθάδε κατοικεῖ· μηδὲν εἰσίτω κακόν·» ἐπέγραψε· «μετὰ τὸν πόλεμον ἡ συμμαχία.» ... ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντ' ἔφη, «εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις.» |
| Τὴν φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν. | VI, 2, 50. τὴν φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν. |
| Τοὺς ἀγαθοὺς ἄνδρας θεῶν εἰκόνας· τὸν ἔρωτα σχολαζόντων ἀσχολίαν. Ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, ἔφη· Γέρων ἄπορος καὶ τί τῶν θηρίων κάκιστα δάκνει, Τῶν μὲν ἀγρίων, εἶπε, συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ. Τὸν πρὸς χάριν λόγον ἔφη μελιτίνην ἀγχόνην εἶναι, τὴν γαστέρα Χάρυβδιν εἶναι τοῦ βίου· Ἀκούσας ποτέ, ὅτι Διδύμων ὁ αὐλητὴς ἑάλω μοιχείας, Ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι. Ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη· Ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβούλους. | VI, 2, 51. τοὺς ἀγαθοὺς ἄνδρας θεῶν εἰκόνας εἶναι· τὸν ἔρωτα σχολαζόντων ἀσχολίαν. ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, ἔφη, «γέρων ἄπορος.» ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη, «τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.» ... τὸν πρὸς χάριν λόγον ἔφη μελιτίνην ἀγχόνην εἶναι. τὴν γαστέρα Χάρυβδιν ἔλεγε τοῦ βίου. ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ αὐλητὴς μοιχὸς ἑάλω, «ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι.» ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, «ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας.» |

5-6. ἐπέγραψε—συμμαχία ΠΕ: ἐπέγραψεν ἡ συμμαχία μετὰ τὸν πόλεμον Δ 6. θεασάμενος ΔΕ: λείπει Π 7. πανδοκείῳ Ε: πανδωκείῳ ΔΠ ἐλάας ΔΕ: θεασάμενος ἐλάας Π ἐσθίοντα ΔΠ: ἐσθίοντ' Ε 8. οὕτω κατὰ γνώμην ΔΠ: οὕτως Ε 9. οὕτω παρὰ γνώμην ΔΠ: οὕτως Ε 15. εἰκόνας ΔΠ: εἰκόνας εἶναι Ε 17. καὶ ΔΠ: ἐρωτηθεὶς Ε 18. τῶν ΔΠ: ἔφη τῶν Ε 22-23. χάριβδιν εἶναι τοῦ βίου Δ: τοῦ βίου χάρυβδιν Π: Χάρυβδιν ἔλεγε τοῦ βίου Ε 24-25. ἑάλω μοιχείας ΔΠ: μοιχὸς ἑάλω Ε 28-29. ἐπιβούλους ΔΠ: ἐπιβουλεύοντας Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Σ. ΙΩΑΝΝΙΝΑ 2006

Ἰδὼν δραπέτην ἐπὶ φρέατι καθήμενον, ἔφη· Μειράκιον, βλέπε μὴ ἐμπέσῃς. Ἰδὼν ποτε γυναῖκα ἀπ' ἐλαίας ἀπηγχονισμένην, Εἴθε, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον ἐνέγκοι καρπόν. Ἐρωτηθεὶς εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη· Οὔ. Τοῦ οὖν ἐρωτήσαντος εἰπόντος Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη· Ὁ χρήζων τῆς οἰκίας.

Πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα ἔφη·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγοράζεις.

Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, Τράπεζαν μέν, εἶπε, καὶ κύαθον ὁρῶ, τραπεζότητα δὲ καὶ κυαθότητα οὐδαμῶς ἔγωγε, ὦ Πλάτων. Καὶ ὅς Κατὰ λόγον, ἔφη· οἷς μὲν γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις, ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις.

Ἐρωτηθεὶς ἐν ποίῳ καιρῷ δεῖ

VI, 2.52. ἰδών ποτε δραπέτην ἐπὶ φρέατι καθήμενον ἔφη, «μειράκιον, βλέπε μὴ ἐμπέσῃς...» ἰδών ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, «εἴθε γάρ, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν.» ... ἐρωτηθεὶς εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη, «οὔ·» τοῦ δὲ εἰπόντος, «ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει;» ἔφη, «Ὁ χρήζων τῆς οἰκίας.»

VI. 2.53. πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα,

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγοράζεις;

Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, «ἐγώ, εἶπεν, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ· τραπεζότητα δὲ καὶ κυαθότητα οὐδαμῶς·» καὶ ὅς, «κατὰ λόγον, ἔφη· οἷς μὲν γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις· ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις.»

VI, 2.54. ἐρωτηθεὶς ποίῳ

1. ἰδὼν ΔΠ: ἰδὼν ποτε Ε 2. μειράκιον ΔΕ: λείπει Π 3. ποτε ΔΕ: ποτὲ Π 3-4. γυναῖκα ... ἀπηγχονισμένην Π: γυναῖκας ... ἀπηγχονισμένας ΔΕ 4. εἴθε ΔΠ: εἴθε γάρ Ε 6. ἐνέγκοι καρπόν ΔΠ: καρπὸν ἤνεγκεν Ε 7. παιδάριον ΔΕ: παιδίον Π ἔχοι ΔΠ: ἔχει Ε 8. οὔ Ε: οὐ ΔΠ οὖν ἐρωτήσαντος ΔΠ: δὲ Ε 13. ἔφη ΔΠ: λείπει Ε 14-15. ἔσσεαι Ε: ἔσεαι ΔΠ 18. τράπεζαν (τραπέζας Δ) μὲν εἶπε ΔΠ: ἐγὼ εἶπεν ὦ Πλάτων, τράπεζαν μὲν Ε 20-21. ἔγωγε ὦ Πλάτων ΔΠ: λείπουσιν Ε 21. κατὰ λόγον ΠΕ: καταλόγον Δ 22-23. κύαθος καὶ τράπεζα ΠΕ: τράπεζα καὶ κύαθος Δ 27. ἐν ΔΠ: λείπει Ε

γαμεῖν, ἔφη· Τοὺς μὲν νέους μηδέπω, τοὺς δὲ πρεσβυτέρους μηδεπώποτε. Μειράκιον καλλωπιζόμενον ἰδών, ἔφη· Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. Ἕτερον δὲ μειράκιον ἐρυθριῶν, θάρρει, ἔφη· τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα. Ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη· Τὸν ἀλλότριον.

Πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν Γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δυνήσεται. Ἀριστῶν ἐλάας, πλακοῦντος εἰςαχθέντος, ἔρριψε τὰς ἐλάας, εἰπὼν

Ὦ ξένε, τυράννοις ἐκποδὼν ἐξίστασο·

καὶ ἄλλοτε·

Μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην.

Ἐρωτηθεὶς ποταπὸς εἴη κύων, Πεινῶν μέν, εἶπε, Μελιταῖος, χορ-

καιρῷ δεῖ γαμεῖν, ἔφη, «τοὺς μὲν νέους μηδέπω, τοὺς δὲ πρεσβυτέρους μηδεπώποτε.»... μειράκιον ἰδὼν καλλωπιζόμενον ἔφη, «εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς.» ἰδών ποτε μειράκιον ἐρυθριῶν, «θάρρει, ἔφη· τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα.»... ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη, «τὸν ἀλλότριον.»

VI, 2.55. πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, «γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δυνήσεται.» ἀριστῶν ἐλάας, πλακοῦντος ἐπειςενεχθέντος, ῥίψας φησίν,

Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο·

καὶ ἄλλοτε·

Μάστιξεν δ' ἐλάαν.

ἐρωτηθεὶς ποταπὸς εἴη κύων; ἔφη «πεινῶν μὲν Μελιταῖος, χορτα-

2-3. μηδεπώποτε ΠΕ: μηδὲ πώποτε Δ 3-4. καλλωπιζόμενον ἰδὼν ΔΠ: ἰδὼν καλλωπιζόμενον Ε 5. ἀτυχεῖς ΠΕ: ἀδικεῖς Δ 6. ἀδικεῖς ΠΕ: ἀτυχεῖς Δ ἕτερον δὲ ΔΠ: ἰδών ποτε Ε 8. τοιοῦτόν ἐστι ΔΕ: τοιοῦτον ἐστὶ Π 16. μάνου ΔΕ: μάνεντος Π οὐ δυνήσεται ΠΕ: ζῆν οὐ δύναται Δ 17-18. εἰςαχθέντος ΔΠ: ἐπειςενεχθέντος Ε 18. ἔρριψε τὰς ἐλάας εἰπὼν Π: ἔρριψεν εἰπὼν τὰς ἐλάας Δ: ῥίψας φησίν Ε 19. ὦ ξένε Ε: ξεῖνε ΔΠ 19-20. ἐξίστασο ΔΠ: μεθίστασο Ε 23. μάστιξεν Ε: μάστιξε ΔΠ 23-24. τὼ (τῷ Δ)—πετέσθην ΔΠ: λείπουσιν Ε 25. εἴη κύων ΔΕ: κύων εἴη Π 26. πεινῶν μὲν εἶπε Π: πεινῶν εἶπε Δ: ἔφη πεινῶν μὲν Ε

Ε.Φ.ΑΣΤΗΡ. Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

τασθεὶς δὲ Μολοττικός, τούτων οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι συνεξιέναι μετ' αὐτῶν εἰς θήραν.

Ἐρωτηθεὶς διὰ τί οἱ πλούσιοι προσαίταις μὲν διδόασι, φιλοσόφοις δὲ οὔ, ἔφη· Ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ γενέσθαι ἐλπίζουσι, φιλοσοφῆσαι δὲ οὐδέποτε. Φιλάργυρον ᾔτει· τοῦ δὲ βραδύνοντος, Ἄνθρωπε, εἶπεν, εἰς τροφὴν αἰτῶ καὶ οὐκ εἰς ταφήν. Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη· Ἦν ποτε χρόνος ἐκεῖνος, ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἔγωγε νῦν, σὺ οὐδέποτε.

Εἰς Μύνδον ἐλθὼν καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, ἔφη· Ἄνδρες Μύνδιοι, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. Θεασάμενος πορφυροκλέπτην πεφωραμένον, εἶπε· Τόνδ'

Ἔλλαβε πορφύρεος θάνατος καὶ
Μοῖρα κραταιή.

Κρατέρου ἀξιοῦντος παρ' αὐτὸν

σθεὶς δὲ Μολοττικός, τούτων οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι διὰ τὸν πόνον συνεξιέναι αὐτοῖς ἐπὶ τὴν θήραν...

VI. 2 56. ἐρωτηθεὶς διὰ τί προσαίταις μὲν ἐπιδιδόασι, φιλοσόφοις δὲ οὔ, ἔφη, «ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ γενέσθαι ἐλπίζουσι, φιλοσοφῆσαι δ' οὐδέποτε·» φιλάργυρον ᾔτει· τοῦ δὲ βραδύνοντος, «ἄνθρωπε, εἶπεν, εἰς τροφήν σε αἰτῶ, οὐκ εἰς ταφήν.» ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα ἔφη, «ἦν ποτε χρόνος ἐκεῖνος ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ οὐδέποτε.»

VI, 2,57. εἰς Μύνδον ἐλθὼν καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, «ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ.» θεασάμενός ποτε πορφυροκλέπτην πεφωραμένον ἔφη,

Ἔλλαβε πορφύρεος θάνατος καὶ
Μοῖρα κραταιή.

Κρατέρου ἀξιοῦντος πρὸς αὐτὸν

1. Μολοττικὸς Ε: συλοτικὸς ΔΠ 2. τολμῶσι ΔΠ: τολμῶσι διὰ τὸν πόνον Ε 3. μετ' αὐτῶν εἰς ΔΠ: αὐτοῖς ἐπὶ τὴν Ε 5. οἱ πλούσιοι ΔΠ: λείπουσιν Ε 6. διδόασι ΔΠ: ἐπιδιδόασι Ε 7. οὔ Ε: οὐ ΔΠ 9. δὲ ΔΠ: δ' Ε 12. καὶ Δ: λείπει ΠΕ 14. ἦν ΠΕ: ἣν Δ 16. ἔγωγε ΔΠ: ἐγὼ Ε 17. οὐδέποτε ΔΕ: οὐδεπώποτε Π 20-21. ἔφη ἄνδρες μύνδιοι ΔΠ: ἄνδρες Μύνδιοι ἔφη Ε 22. θεασάμενος ΔΠ: θεασάμενός ποτε Ε 23-24. εἶπε τόνδ' ΔΠ: ἔφη Ε 25. ἔλλαβε Ε: ἔλαβε ΔΠ 27. κρατέρου Ε: κρατεροῦ ΔΠ παρ' ΔΠ: πρὸς Ε αὐτὸν ΠΕ: αὐτῷ Δ

ἀπιέναι, Ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἅλα λείχειν ἢ παρὰ Κρατέρῳ πολυτελοῦς ἀπολαύειν τραπέζης. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, Ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός· καὶ γὰρ καὶ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις. Τοῦ αὐτοῦ ῥήτορος διαλεγομένου ποτέ, τάριχος προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δέ, Τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν. Ὀνειδιζόμενος ὅτι ἐν ἀγορᾷ ἔφαγεν, Ἐν ἀγορᾷ γάρ, ἔφη, καὶ ἐπείνησα. Πρὸς τὸν εἰπόντα, ὅτι Οἱ πλείους σου καταγελῶσι, Κἀκείνων τυχόν, εἶπεν, οἱ ὄνοι· ἀλλ' οὔτ' ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτ' ἐγὼ ἐκείνων.

ἀπιέναι, «ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἅλα λείχειν ἢ παρὰ Κρατέρῳ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν.» Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, «ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις.» διαλεγομένου ποτὲ τοῦ αὐτοῦ τάριχος προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δέ, «τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν.» (58) ὀνειδιζόμενός ποτε ὅτι ἐν ἀγορᾷ ἔφαγεν, «ἐν ἀγορᾷ γάρ, ἔφη, καὶ ἐπείνησα.»... πρὸς τὸν εἰπόντα, «οἱ πλείους σου καταγελῶσι», «κἀκείνων τυχόν, εἶπεν, οἱ ὄνοι· ἀλλ' οὔτ' ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτ' ἐγὼ ἐκείνων.»

Εὐμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον ἔφη· Χείρων ἐπανήξεις. Τοῦ δ' ἐπανελθόντος καὶ τῇ ἑξῆς εἰπόντος Καὶ ἀπῆλθον καὶ χείρων οὐκ ἐγενόμην, ἔφη· Χεί-

VI, 2, 59. εὐμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον ἔφη, «χείρων ἐπανήξεις·» τοῦ δ' ἐπανελθόντος καὶ τῇ ἑξῆς εἰπόντος, «καὶ ἀπῆλθον καὶ χείρων οὐκ ἐγενό-

2-3. Κρατέρῳ Ε: κρατερῷ ΔΠ 3-4. πολυτελοῦς ἀπολαύειν τραπέζης Δ: ἀπολαύειν πολυτελοῦς τραπέζης Π: τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν Ε 4. ῥήτορι Ε: ῥήτορι ΔΠ 6. ἔφη τοῖς πτωχοῖς ΠΕ: τοῖς πτωχοῖς ἔφη Δ 7. γὰρ καὶ ΔΠ: γὰρ Ε 7-8. κουφισθήσῃ Ε: κουφίσῃ ΔΠ 8-9. τοῦ αὐτοῦ ῥήτορος διαλεγομένου ΔΠ: διαλεγομένου ποτὲ τοῦ αὐτοῦ Ε 12. ἀναξιμένους ΠΕ: ἀραξιμένους Δ 12-13. διάλεξιν ΔΕ: διάλεκτον Π 14. ὀνειδιζόμενος ΔΠ: ὀνειδιζόμενός ποτε Ε 15. καὶ ΠΕ: λείπει Δ 16. ὅτι ΔΠ: λείπει Ε 19. οὔτ' ΠΕ: οὔτε Δ 20. οὔτ' ΔΕ: οὔτε Π 23. χείρων ΔΕ: χεῖρον Π 24. δ' Ε: δὲ ΔΠ 24-25. τῇ ἑξῆς ΠΕ: λείπουσι Δ

Ε.Υ.Δ. του Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρων μὲν οὔ, Εὐρυτίων δέ. Δύσκολον ᾔτει· τοῦ δὲ εἰπόντος Ἐάν με πείσῃς, ἔφη· Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισα ἂν ἀπάγξασθαι. Ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον Ποῖ καὶ πόθεν, Ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν.

Τοὺς ἀσώτους ἔφη παραπλησίους εἶναι συκαῖς ἐπὶ κρημνοῖς πεφυκυίαις, ὧν τοῦ καρποῦ ἄνθρωπος μὲν οὐκ ἀπογεύεται, κόρακες δὲ καὶ γῦπες ἐσθίουσι. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς ἐπέγραψεν· Ἀπὸ τῆς τῶν Ἑλλήνων ἀκρασίας. Ἀλεξάνδρου ἐπιστάντος αὐτῷ καὶ εἰπόντος Ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεύς, Κἀγώ φησι, Διογένης ὁ κύων. Ἐρωτηθεὶς τί ποιῶν κύων καλεῖται, ἔφη· Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. Ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος Αὐτόθι πρώην ἄνθρωπος ἀπήγξατο, Ἐγὼ οὖν, φησιν, αὐτὴν καθαρῶ. Ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, Ἴδε, ἔφη, κριὸν

μην,» ἔφη. «Χείρων μὲν οὔ, Εὐρυτίων δέ.» δύσκολον ᾔτει· τοῦ δ' εἰπόντος, «ἐάν με πείσῃς,» ἔφη, «εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισα ἄν σε ἀπάγξασθαι. ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον, «ποῖ καὶ πόθεν»; ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν.»

VI, 2.60. τοὺς ἀσώτους εἶπε παραπλησίους εἶναι συκαῖς ἐπὶ κρημνῷ πεφυκυίαις, ὧν τοῦ καρποῦ ἄνθρωπος μὲν οὐκ ἀπογεύεται, κόρακες δὲ καὶ γῦπες ἐσθίουσι. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς (φασὶ) τοῦτον ἐπιγράψαι, «ἀπὸ τῆς τῶν Ἑλλήνων ἀκρασίας.» Ἀλεξάνδρου ποτὲ ἐπιστάντος αὐτῷ καὶ εἰπόντος, «ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεύς,» «κἀγώ, φησί, Διογένης ὁ κύων.» ἐρωτηθεὶς τί ποιῶν κύων καλεῖται, ἔφη, «τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων.» (61). ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος, «αὐτόθεν πρώην ἄνθρωπος ἀπήγξατο,» «ἐγὼ οὖν, φησίν, αὐτὴν καθαρῶ.» ἰδὼν Ὀλυμ-

2. δὲ ΔΠ: δ' Ε 10. ἔφη ΔΠ: εἶπε Ε 11. κρημνοῖς Δ: κρημνοῦ Π: κρημνῷ Ε 14. γῦπες ΔΕ: γύπες ΔΠ 16. ἐπέγραψεν ΔΠ: (φασὶ) τοῦτον ἐπιγράψαι Ε 18. ἐπιστάντος ΔΠ: ποτὲ ἐπιστάντος Ε 19. εἰμι Ε: εἰμὶ ΔΠ 20. φησι Δ: φησί Ε: ἔφη Π 26. αὐτόθι ΔΠ: αὐτόθεν Ε 28. φησιν ἔγραψα: φησίν ΔΠΕ καθαρῶ Ε: καθάρω ΔΠ

ἀρειμάνιον ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχῶς ἔλεγον Κύον. Ὁ δὲ Ὑμεῖς ἐστε κύνες, ἔφη, οἵ με ἀριστῶντα περιεστήκατε.

Υἱὸν ἑταίρας ἰδὼν λίθον εἰς ὄχλον βάλλοντα, Πρόσεχε, ἔφη, μή σου τὸν πατέρα πλήξῃς. Δείξαντος αὐτῷ παιδαρίου μάχαιραν, ἣν ἔλαβε παρὰ ἐραστοῦ, Ἡ μὲν μάχαιρα, ἔφη, καλή, ἡ δὲ λαβὴ αἰσχρά.

Θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη· Περὶ δὲ τοῦ ποδαποὺς ἐκβῇ οὐ θύετε; Ἐρανόν ποτε ἀπαιτούμενος, πρὸς τὸν ἐρανάρχην ἔφη·

Τοὺς ἄλλους ἐράνιζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

Ἐν ἱερῷ δειπνῶν, μεταξὺ ῥυπαρῶν ἄρτων παρατεθέντων, ἄρας αὐτοὺς ἔρριψεν, εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσιέναι εἰπών.

Ἐπαινούντων τινῶν τὸν ἐπι-

πιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, «ἴδε, ἔφη, κριὸν Ἀρειμάνιον ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται.» . . . ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον, «κύον»· ὁ δέ, ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε.»

VI, 2, 62. θεασάμενος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, «πρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς.» δείξαντος αὐτῷ παιδαρίου μάχαιραν ἣν εἰλήφει παρ' ἐραστοῦ, «ἡ μὲν μάχαιρα, ἔφη, καλή, ἡ δὲ λαβὴ αἰσχρά.»

VI, 2, 63 θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη «περὶ δὲ τοῦ ποδαπὸς ἐκβῇ οὐ θύετε;» ἐρανόν ποτ' ἀπαιτούμενος πρὸς τὸν ἐρανάρχην ἔφη,

Τοὺς ἄλλους ἐράνιζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

VI, 2, 64. ἐν ἱερῷ δειπνῶν, μεταξὺ ῥυπαρῶν ἄρτων παρατεθέντων, ἄρας αὐτοὺς ἔρριψεν, εἰπὼν εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσιέναι.

VI, 2, 62. ἐπαινούντων τινῶν

1. ἀρειμάνιον ἔγραψα: Ἀρειμάνιον Ε: ἀριμάνιον ΔΠ 2. τραχηλίζεται ΠΕ: τραχηλιάζεται Δ 4. συνεχῶς ΔΠ: συνεχὲς Ε 5. ἐστε (ἐστὲ Δ) κύνες ἔφη ΔΠ: εἶπεν ἐστὲ κύνες Ε με ΔΕ: λείπει Π 9. υἱὸν ἑταίρας ἰδὼν ΔΠ: θεασάμενος υἱὸν ἑταίρας Ε 10-11. μή σου Δ: μὴ ΠΕ 13. ἔλαβε ΔΠ: εἰλήφει Ε παρὰ ΔΠ: παρ' Ε 18. ποδαπὸς Ε: ποταπὸς Π: ποταμὸς Δ 19. ποτε ΔΠ: ποτ' Ε 21. ἐράνιζ' Ε: ἐράνιζε ΔΠ δ' ΠΕ: δὲ Δ 25. εἰς ΔΠ: εἰπὼν εἰς Ε 26. δεῖν ΠΕ: λείπει Δ εἰπὼν ΔΠ: λείπει Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ. Κ.π.Π ΙΩΑΝΝΙΝΑ 2006

δόντα αὐτῷ, ἔφη· Ἐμὲ δ' οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν; Ἀπαιτούμενος ὑπό τινος τρίβωνα, ἔφη· Εἰ μὲν ἐχαρίσω, ἔχω, εἰ δ' ἔχρησας, χρῶμαι.

Πρὸς τὸν ὀνειδίζοντα ὡς εἰς τόπους ἀκαθάρτους εἰσίοι, Καὶ γὰρ ὁ ἥλιος, ἔφη, εἰς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται.

Πρὸς τὸν εἰπόντα Οὐδὲν εἰδὼς φιλοσοφεῖς, ἔφη· Εἰ καὶ προςποιοῦμαι φιλοσοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι. Πρὸς τὸν συνιστάντα τὸν παῖδα καὶ λέγοντα ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος Τί οὖν, εἶπεν, ἐμοῦ χρήζει; Τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δὲ ἔλεγε μηδὲν διαφέρειν κιθάρας· καὶ γὰρ καὶ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι. Εἰς θέατρον εἰςῄει ἐναντίος τοῖς ἐξιοῦσιν. Ἐρωτηθεὶς δὲ διὰ τί, Τοῦτ', ἔφη, ἐν παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν. Ἰδών ποτε νεανίσκον θηλυνόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, χείρονα τῆς φύσεως περὶ σεαυτοῦ βουλευόμενος; Ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶναι.

τὸν ἐπιδόντα αὐτῷ ἔφη, «ἐμὲ δ' οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν.» ἀπαιτούμενος ὑπό τινος τρίβωνα ἔφη, «εἰ μὲν ἐχαρίσω, ἔχω· εἰ δ' ἔχρησας, χρῶμαι.»

VI, 2, 63. πρὸς τὸν ὀνειδίζοντα ὅτι εἰς τόπους ἀκαθάρτους εἰσίοι, «καὶ γὰρ ὁ ἥλιος, ἔφη, εἰς τοὺς ἀποπάτους ἀλλ' οὐ μιαίνεται.»

VI, 2, 64. πρὸς τὸν εἰπόντα, «οὐδὲν εἰδὼς φιλοσοφεῖς,» ἔφη, «εἰ καὶ προςποιοῦμαι σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι.» πρὸς τὸν συνιστάντα τὸν παῖδα καὶ λέγοντα ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος, «τί οὖν, εἶπεν, ἐμοῦ χρήζει;» τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δέ, ἔλεγε μηδὲν διαφέρειν κιθάρας· καὶ γὰρ ταύτην μήτ' ἀκούειν μήτ' αἰσθάνεσθαι. εἰς θέατρον εἰςῄει ἐναντίος τοῖς ἐξιοῦσιν· ἐρωτηθεὶς δὲ διὰ τί, «τοῦτο, ἔφη, ἐν παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν.» (65) ἰδών ποτε νεανίσκον θηλυνόμενον, «οὐκ αἰσχύνῃ, ἔφη, χείρονα τῆς φύσεως περὶ σεαυτοῦ βουλευόμενος; ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶ-

4-5. ἔχρησας ΠΕ: ἐχρήσας Δ  6. ὡς ΔΠ: ὅτι Ε  8. γὰρ ΠΕ: λείπει Δ  11. πρὸς τὸν εἰπόντα ΔΕ: εἰπόντος τινὸς ΔΕ  13. φιλοσοφίαν ΔΠ: σοφίαν Ε  14. ἐστι ΠΕ: ἐστιν Ε  21. καὶ ΔΠ: λείπει Ε  ταύτην ΠΕ: τοιαύτας Δ  (δὶς) μήτε ΔΠ: μήτ' Ε  23. ἐναντίος Ε: ἐναντίον ΔΠ  ἐξιοῦσιν ΔΕ: ἐξιοῦσι Π  24. τοῦτ' ΔΠ: τοῦτο Ε  28. σεαυτοῦ ΔΕ: σαυτοῦ Π  βουλευόμενος Ε: βουλόμενος ΔΠ  30. σεαυτὸν Ε: σαυτὸν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἑαυτὸν Π: λείπει Δ

Ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, τοὺς μὲν φθόγγους τῷ ξύλῳ προςαρμόττων, τὴν δὲ ψυχὴν εἰς τὸν βίον μὴ ἁρμόττων; Πρὸς τὸν εἰπόντα Ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν Τί οὖν, εἶπε, ζῇς, εἰ τοῦ καλῶς ζῆν οὐ μέλει σοι; Ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, Οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κουλεοῦ μολυβδίνην ἕλκων μάχαιραν; Ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, Καὶ γὰρ ἐν κουρείῳ, ἔφη, κείρομαι.

Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρὸς Οὐκ αἰσχύνῃ, ἔφη, καταφρονῶν τούτου δι' ὃν μέγα φρονεῖς;

Ὀνειδιζόμενος ὅτι παρ' Ἀντιπάτρου τριβώνιον ἔλαβεν, ἔφη·

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

Πρὸς τὸν μυριζόμενον Βλέπε, εἶπε, μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυςωδίαν σου τῷ βίῳ παράσχῃ.

Ἐρωτηθεὶς διὰ τί ἀνδράποδα ἐκλήθη, Ὅτι, ἔφη, πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν ὁποίαν σὺ

ναι.» ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, «οὐκ αἰσχύνῃ, ἔφη, τοὺς μὲν φθόγγους τῷ ξύλῳ προςαρμόττων, τὴν δὲ ψυχὴν εἰς τὸν βίον μὴ ἁρμόττων;» πρὸς τὸν εἰπόντα, «ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν,» τί οὖν, ἔφη, ζῇς, εἰ τοῦ καλῶς ζῆν μὴ μέλει σοι;... ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, «οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολυβδίνην ἕλκων μάχαιραν;» (66) ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, «καὶ γὰρ ἐν κουρείῳ, φησί, κείρομαι.»

VI. 2,65. πρὸς τὸν καταφρονοῦντα τοῦ πατρός, «οὐκ αἰσχύνῃ, ἔφη, καταφρονῶν τούτου δι' ὃν μέγα φρονεῖς;»

VI, 2, 66. ὀνειδιζόμενος ὅτι παρ' Ἀντιπάτρου τριβώνιον ἔλαβεν, ἔφη,

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

... πρὸς τὸν μυριζόμενον, «βλέπε, εἶπε, μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυςωδίαν σου τῷ βίῳ παράσχῃ.»

VI, 2,67. ἐρωτηθεὶς διὰ τί ἀνδράποδα ἐκλήθη, «ὅτι, φησί, τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ

3. φθόγγους ΠΕ: ξύλους Δ ξύλῳ ΠΕ: φθόγγῳ Δ 7. εἶπε ΔΠ: ἔφη Ε 8. οὐ ΔΠ: μὴ Ε 10-11. ἐξ ἐλεφαντίνου ΠΕ: ἐξελεφαντίνου Δ 11. κουλεοῦ ΔΠ: κολεοῦ Ε 14. ἔφη ΔΠ: φησὶ Ε 20. τριβώνιον ΠΕ: τρίβωνα Δ ἔλαβεν ΠΕ: ἔλαβε Δ 21. οὔτοι Ε: οὔτι Π: οὔτ' Δ ἀπόβλητ' ἐστὶ Ε: ἀπόβλητά ἐστι ΔΠ 27. ἀνδράποδα Ε: ἀνδράποδον ΔΠ 28. ἔφη πόδας ΔΠ: φησὶ τοὺς πόδας Ε 28-29. ἀνδρῶν εἶχον ΔΕ: εἶχεν ἀνδρῶν Π 29. τὴν δὲ ψυχὴν ὁποίαν ΠΕ: ψυχὴν δὲ οἵαν Δ

νῦν ὁ ἐξετάζων. Ἄσωτον ᾔτει μνᾶν· πυθομένου δὲ διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν, Ὅτι παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ σοῦ δὲ οὐκέτι, ἀλλ' ἐν θεῶν γούνασι κεῖται εἰ πάλιν λήψομαι. Ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, Κἀκεῖνος, εἶπεν, αἰτεῖ, ἀλλ'

Ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

Ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, Πῶς, εἶπε, κακός, οὗ παρόντος οὐκ αἰσθανόμεθα; Τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. Πρὸς Διδύμωνα τὸν μοιχόν, ἰατρεύοντα κόρης ὀφθαλμόν, φησί· Τῆς παρθένου θεραπεύων τὸν ὀφθαλμὸν μὴ τὴν κόρην φθείρῃς.

Εἰώθει δ' ἐν μέσῳ ποιεῖν καὶ τὰ τῆς Δήμητρος καὶ τὰ τῆς Ἀφροδίτης, καὶ τοιούτους τινὰς ἠρώτα

ψυχὴν ὁποίαν σὺ νῦν ὁ ἐξετάζων.» ἄσωτον ᾔτει μνᾶν· πυθομένου δὲ διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν, «ὅτι, εἶπε, παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ θεῶν ἐν γούνασι κεῖται εἰ πάλιν λήψομαι.» ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, «κἀκεῖνος, εἶπεν, αἰτεῖ, ἀλλ'

Ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

VI, 2,68. ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, «πῶς, εἶπε, κακός, οὗ παρόντος οὐκ αἰσθανόμεθα;»... τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντά ποτε κόρης ὀφθαλμόν, «ὅρα, φησί, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου θεραπεύων τὴν κόρην φθείρῃς.»

VI, 2,69. εἰώθει δὲ πάντα ποιεῖν ἐν τῷ μέσῳ, καὶ τὰ Δήμητρος καὶ τὰ Ἀφροδίτης καὶ

4. ὅτι ΔΠ: ὅτι εἶπε Ε  5. πάλιν ἐλπίζω λαβεῖν ΔΕ: ἐλπίζω λαβεῖν πάλιν Π  6. σοῦ δὲ ΔΠ: δὲ σοῦ Ε  οὐκέτι ἀλλ' Π: λείπουσι ΔΕ  ἐν θεῶν Π: θεῶν ἐν ΔΕ  10. ἀλλ' Ε: λείπει ΔΠ  12. πευθοίαθ' οἱ Ε: πευθοίατ' ΔΠ  20. ἰατρεύοντα ΔΠ: ἰατρεύοντά ποτε Ε  21. φησί ΔΠ: ὅρα φησί Ε  21-22. τῆς παρθένου — ὀφθαλμὸν ΔΠ: μὴ τὸν ὀφθαλμὸν — θεραπεύων Ε  22-23. μὴ τὴν κόρην φθείρῃς Δ: τὴν κόρην μὴ φθείρῃς Π: τὴν κόρην φθείρῃς Ε  25 - σ. 351,5. εἰώθει — ἄτοπον ΔΕ: λείπουσι Π  25. δ' ἐν μέσῳ ποιεῖν Δ: δὲ πάντα ποιεῖν ἐν τῷ μέσῳ Ε  26 (δίς). τῆς Δ: λείπει Ε

λόγους· εἰ τὸ ἀριστᾶν μηδὲν εἴη ἄτοπον, οὐδ' ἐν ἀγορᾷ εἴη ἄτοπον· οὐκ ἔστι δὲ ἄτοπον τὸ ἀριστᾶν, οὐδ' ἄρα ἐν ἀγορᾷ ἐστιν ἄτοπον.

τοιούτους τινὰς ἠρώτα λόγους· Εἰ τὸ ἀριστᾶν μηδέν ἐστιν ἄτοπον· οὐκ ἔστι δ' ἄτοπον τὸ ἀριστᾶν· οὐδ' ἐν ἀγορᾷ ἄρα ἐστὶν ἄτοπον.

Ἀγγελλομένου Φιλίππου ὡς μέλλοι τῇ Κορίνθῳ προςβάλλειν καὶ πάντων πρὸς ἔργοις ὄντων καὶ περισπωμένων, οὗτος τὸν οἰκεῖον πίθον ἐκύλιεν. Ἐρομένου δέ τινος· Ὅτου χάριν, Διόγενες; Ὅτι, ἔφη, πάντων ταλαιπωρουμένων, ἐμὲ μηδὲν ποιεῖν ἄτοπον· κυλίω γοῦν τὸν πίθον, μηδὲν ἄλλο διαπράττεσθαι ἔχων.

Ὡραῖον ἰδὼν μειράκιον ἀτάκτως ἄνω καὶ κάτω μεταπηδῶν συνεχῶς, ἔφη·

Μηριόνη, τάχα κέν σε, καὶ ὀρ-
χηστήν περ ἐόντα,
ἔγχος ἐμὸν κατέπαυσε διαμπε-
ρές,„ εἴ σ' ἔβαλόν περ.

Περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφοροι λέγονται λόγοι. Οἱ μὲν γάρ φασι βοὸς πόδα φαγόντα ὠμὸν χολερικῇ ληφθῆναι καὶ ὧδε τελευτῆσαι· ἄλλοι δέ φασι, πολύπουν κυσὶ συμμερίσασθαι βουλόμενον, οὕτω δηχθῆναι τοῦ ποδὸς τὸν τένοντα καὶ καταστρέψαι.

VI, 2, 76. περὶ δὲ τοῦ θανάτου διάφοροι λέγονται λόγοι· οἱ μὲν γὰρ πολύποδα φαγόντα ὠμὸν χολερικῇ ληφθῆναι καὶ ὧδε τελευτῆσαι... (77) ἄλλοι φασὶ πολύπουν κυσὶ συμμερίσασθαι βουλόμενον οὕτω δηχθῆναι τοῦ ποδὸς τὸν τένοντα καὶ καταστρέψαι.

Ὕστερον δὲ οἱ πολῖται αὐτοῦ

VI, 2, 78. ὕστερον δὲ καὶ οἱ

1. εἴη Δ: ἐστιν Ε  2-3. οὐδ' — εἴη ἄτοπον Δ: λείπουσιν Ε  3. δὲ Δ: δ' Ε  4. ἄρα ἐν ἀγορᾷ Δ: ἐν ἀγορᾷ ἄρα Ε  6. φιλίππου Π: τοῦ φιλίππου Δ  19. μηριόνη Π: μυριόνη Δ  23. αὐτοῦ ΔΠ: λείπει Ε  25. φασι βοὸς πόδα ΔΠ: πολύποδα Ε  27. δὲ φασι ΔΠ: φασὶ Ε  31. δὲ Δ: δ' Π: δὲ καὶ Ε

Ε.Κ.Δ ΤΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτόν, καὶ ἐπέγραψαν οὕτω· | πολῖται αὐτοῦ χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτὸν καὶ ἐπέγραψαν οὕτω. |
| Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι<br>κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ·<br>μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας<br>θνητοῖς καὶ ζωᾶς οἶμον ἐλαφροτάταν. | Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι<br>κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ·<br>μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας<br>θνατοῖς καὶ ζωᾶς οἶμον ἐλαφροτάταν. |
| Ἄλλο ἐπίγραμμα. | (79) ἔστι καὶ ἡμῶν ἐν τῷ προκελευσματικῷ μέτρῳ· |
| Διόγενες, ἄγε λέγε τίς ἔλαβέ σε μόρος<br>Ἀΐδαο. Ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ. | Α. Διόγενες, ἄγε λέγε τίς ἔλαβέ σε μόρος<br>ἐς Ἀΐδος. Δ. ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ. |
| Λέγεται δὲ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι. | VI, 2, 79. Δημήτριος δ' ἐν τοῖς Ὁμωνύμοις φησὶ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι. |
| Κράτης ὁ Θηβαῖος, τῶν ἐλλογίμων ὢν τοῦ Διογένους μαθητῶν. | VI, 5, 85. Κράτης Ἀσκώνδου Θηβαῖος. καὶ οὗτος τῶν ἐλλογίμων τοῦ κυνὸς μαθητῶν. |
| Ὃς καὶ θυρεπανοίκτης ἐκαλεῖ- | VI, 5, 86. ἐκαλεῖτο δὲ καὶ θυ- |

3. Ἐν τῇ ὤᾳ βραχυγραφικῶς ἐπίγραμμα Π  7. ἐπεὶ Ε: ἐπὶ ΔΠ  αὐτάρκεα Ε: αὐταρκέα Π: ἄρταρ κέα Δ  7-8. δόξαν ΠΕ: δόξε Δ  9. ζωᾶς Ε: ζωῆς ΔΠ  12. ἄλλο ἐπίγραμμα Δ: ἔστι — μέτρῳ Ε: λείπει ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὤᾳ Ἕτερον Π  16. ἀΐδαο ΔΠ: ἐς Ἀΐδος Ε  17. ὀδάξ ΠΕ: ὁ δὰξ Δ  18. λέγεται δὲ ΔΠ: Δημήτριος — φησὶ Ε  20. δὲ Δ: δ' ὡς Π  25. ὁ ΔΠ: Ἀσκώνδου Ε  τῶν ΔΠ: καὶ οὗτος τῶν Ε  28. ὃς θυρεπανοίκτης ἐκαλεῖτο ΔΠ: ἐκαλεῖτο δὲ καὶ θυρεπανοίκτης Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

το διὰ τὸ πρὸς πᾶσαν θύραν εἰςιέναι καὶ διδάσκειν.

Παρακαλῶν ποτε τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δέ, ἔφη· Τί γὰρ οὐχὶ καὶ ταῦτα σά ἐστι καθ' ἅπερ καὶ τὰ γόνατα; Ἔλεγέ τε ἀδύνατον ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥςπερ ἐν ῥοιᾷ [ἀεὶ] καὶ σαπρόν τινα κόκκον εἶναι.

Μενεδήμου τοῦ Ἐρετρικοῦ εὐπρεποῦς ὄντος καὶ δοκοῦντος χρησιμεύειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἀψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη· Ἔνδον Ἀσκληπιάδης. Ἐφ' ᾧ δυςχεράνας ὁ Μενέδημος εἷλκεν αὐτὸν τοῦ ποδός. Ὁ δ' ἐπέλεγεν·

Ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Συναισθόμενος δ' ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτόν·

Στείχεις δὴ φίλε [κυρτῶν],

ρεπανοίκτης διὰ τὸ εἰς πᾶσαν εἰςιέναι οἰκίαν καὶ νουθετεῖν.

VI, 5, 89. παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δέ, ἔφη, «τί γάρ; οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;» ἔλεγέ τ' ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥςπερ ἐν ῥοιᾷ ἀεὶ καὶ σαπρόν τινα κόκκον εἶναι.

VI, 5, 91. Διοκλῆς δέ φησιν ἑλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρετρικοῦ. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν καὶ ἐδόκει χρησιμεύειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἀψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη, «ἔνδον Ἀσκληπιάδης.» ἐφ' ᾧ δυςχεράναντα τὸν Μενέδημον ἕλκειν αὐτόν, τὸν δὲ τοῦτο ἐπιλέγειν.

VI, 5, 92. Συναισθανόμενος ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων,

Στείχεις δή, φίλε κυρτῶν,

1. πρὸς ΔΠ: εἰς Ε 1-2. θύραν εἰςιέναι ΔΠ: εἰςιέναι οἰκίαν Ε 2. διδάσκειν ΔΠ: νουθετεῖν Ε 3. ποτε ΔΠ: περί του Ε 5. δὲ ΔΕ: δ' Π 6-7. καθ' ἅπερ ἔγραψα: καθάπερ ΔΠΕ 7. τε ΔΠ: τ' Ε 8. ἀδύνατον ΔΠ: ἀδύνατον εἶναι Ε εὑρεῖν Ε: ἐρεῖν ΔΠ 9. ἀεὶ Ε: λείπει ΔΠ 10. τινα κόκκον εἶναι ΔΕ: εἶναι κόκκον Π 11-12. μενεδήμου — δοκοῦντος ΔΠ: Διοκλῆς — ἐδόκει Ε 16-17. δυςχεράνας ὁ μενέδημος ΔΠ: δυςχεράναντα τὸν μενέδημον Ε 17. εἷλκεν ΔΠ: ἕλκειν Ε 17-18. τοῦ ποδὸς ὁ δ' ἐπέλεγεν ΔΠ: τὸν δὲ τοῦτο ἐπιλέγειν Ε 19-20. ἕλκε — θεσπεσίοιο ΔΠ: καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν ἕλκε — θεσπεσίοιο ἀνωτέρω ἐν τέλει § 90 Ε 21. συναισθόμενος ΔΠ: συναισθανόμενος Ε δ' Π: δὲ Δ: λείπει Ε 22. ἑαυτὸν ΔΠ: ἑαυτὸν λέγων Ε 24. φίλε Ε: φίλος ΔΠ κυρτῶν Ε: λείπει ΔΠ



Ε.Υ.Α της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006